(1018) συμφωνιῶν τῶν πρώτων λόγους ἐν τοῖς τῶν χωρίων
B ἀριθμοῖς, εἰς ἃ διήρηται, περιέχον. τὰ μὲν γὰρ ἓξ καὶ ὀκτὼ τὸν ἐπίτριτον ἔχει λόγον, ἐν ᾧ τὸ διὰ τεσσάρων· τὰ δ' ἓξ καὶ ἐννέα τὸν ἡμιόλιον, ἐν ᾧ τὸ διὰ πέντε· τὰ δ' ἓξ καὶ ιβ' τὸν διπλάσιον, ἐν ᾧ τὸ διὰ πασῶν· ἔνεστι δὲ καὶ ὁ τοῦ τόνου λόγος ἐπόγδοος ὢν ἐν τοῖς ἐννέα




καὶ ὀκτώ. διὰ τοῦτο καὶ ἁρμονίαν τὸν περιέχοντα τοὺς λόγους τούτους ἀριθμὸν ἐκάλεσαν. ἑξάκις δὲ γενόμενος τὸν τῶν δέκα ποιεῖ καὶ διακοσίων ἀριθμόν, ἐν ὅσαις



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549779/176 UNIVERSITÄT LEIPZIG